Πάντως διὰ τὸ τοιαύτας ἡμῶν μνήμας ἔχειν· οὐδέποτε γὰρ δυνάμευοί τισιν τοιοῦτοι ἐπεφάνημεν· καὶ διὰ τοῦτο ἐν τούτοις εὑρέθημεν, ἵνα μάθωμεν ἀφ' ὧν πάσχομεν· ἀλλὰ μὴ τὰ αὐτὰ σπλάγχνα, τίμιοι πατέρες, ἐπιδείξησθε ἐν ἐμοὶ τῷ ἐκπτώτῳ καὶ ταπεινῷ, « ἰδόντες δὲ τὸ ἐμὸν τραῦμα φοβήθητε. » Τί γὰρ ἂν εἴποιμι; ἆρα οὐ χάρτης, οὐχ ἡμερῶν δύο σχολή, οὐχ ἑνὸς ζῴου κάματος εὑρέθη; ἀλλὰ πάντως κατὰ τοὺς ἐμπειροτάτους τῶν ἰατρῶν, οἵ, ὅταν ἅψωνται καὶ ἴδωσι πρὸς θάνατον ἐπειγομένους, ἀποκρατοῦσι μὲν τὰ βοηθήματα, παρασκευάζουσι δὲ διὰ τῶν ζώντων τῷ ὁρμήσαντι τὰ ἐπιθανάτια καὶ τοῖς φίλοις τοῦ ζῶντος τὸν θάνατον καταγγέλλουσιν, πένθους δεινοῦ ὑποφῆται γενόμενοι, οὐ τῆς αὐτῶν τέχνης τὰς ἀποτυχίας ἐννοούμενοι ἀλλ' ἀρχοντικῷ φρονήματι κατὰ τοῦ κάμνοντος ἀποφαίνονται. Οὕτω δὴ καὶ ἡ ὑμετέρα ὁσιότης ἀπεκράτησε μὲν τὴν παράκλησιν, ἀπέκλεισεν δὲ τὴν παραίνεσιν· ἐσπούδασεν δὲ τὸ σύστημα τῆς ἀδελφότητος διασπαρῆναι, καὶ πᾶσι τοῖς ὑπὸ τήνδε τὴν ἐνορίαν οἰκοῦσιν ἐξήγγειλεν τὸν ἡμέτερον θάνατον, ὡς διαδοθῆναι καὶ τοῖς ὑπὲρ τὰ ὄρεια οἰκοῦσιν, καὶ τοῖς μὲν εὐλαβέσι καὶ ἀγαπητοῖς πένθος δεινόν, τοῖς δὲ ἄλλως ἔχουσι κατὰ τῆς πίστεως εὐφροσύνη καὶ χαρά. Πάντως δὲ ἐρεῖτε τοῦτο· « Ἐφώνησεν πέρδιξ; συνήγαγεν ἃ οὐκ ἔτεκεν· ποιῶν ἔλεον αὐτοῦ οὐ μετὰ κρίσεως ἐν ἡμίσει

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id417115326/97 UNIVERSITÄT LEIPZIG